www.tezaurliturgic.ro



# ΑϹΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

**ΠΟΡΦΥΡΙΟΥ**

**ΤΟΥ ΚΑΥΣΟΚΑΛΥΒΙΤΟΥ**

ΤΟΥ ΔΙΟΡΑΤΙΚΟΥ ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

**ΜΕΤΑ ΠΑΡΑΚΛΗΤΙΚΟΥ ΚΑΝΟΝΟΣ**
**ΧΑΙΡΕΤΙΣΜΩΝ ΚΑΙ ΕΓΚΩΜΙΩΝ**

ΠΟΙΗΜΑ
ΕΥΑΓΓΕΛΟΥ ΧΡ. ΚΑΡΑΔΗΜΟΥ
ΘΕΟΛΟΓΟΥ - ΦΙΛΟΛΟΓΟΥ

ΑΘΗΝΑΙ 1998

Ἰχνηλασία

www.tezaurliturgic.ro





# ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΠΟΡΦΥΡΙΟΥ ΤΟΥ ΚΑΥΣΟΚΑΛΥΒΙΤΟΥ, ΤΟΥ ΔΙΟΡΑΤΙΚΟΥ ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

Ψαλλομένη τῇ 2ᾳ τοῦ Δεκεμβρίου μηνὸς

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ.΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α.΄ *Τῶν οὐρανίων ταγμάτων.*

Τῶν φιλοσίων τὰ πλήθη
δεῦτε συνδράμωμεν,
πανηγυρίσαι μνήμην
ἱεροῦ Πορφυρίου·
θραύσας γὰρ δαιμόνων βέλη πικρά,
νίκης στέφανον ἔλαβε
τὸν τῆς ἁγνείας καὶ θείας ὑπακοῆς
καὶ ἀμάχου ταπεινώσεως.

Τῶν ἱερέων ἐδείχθης
τὸ ἐγκαλλώπισμα,
τῶν μοναστῶν τὸ κλέος,
τῶν πιστῶν προστασία,

www.tezaurliturgic.ro



ὅσιε Πορφύριε, σῶσον ἡμᾶς,
τοὺς εἰς σὲ καταφεύγοντας,
ὅτι πολλῇ παῤῥησίᾳ πρὸς τὸν Θεὸν
μεσιτεύεις ἱερώτατε.

Τοῦ Παρακλήτου ἐγένου
δοχεῖον ἔμψυχον,
χαρισματοῦχος μέγας
καὶ κλεινὸς ὑποφήτης·
ἄῤῥητα μυστήρια σὺ ἐρευνῶν
καὶ κηρύσσων σοῖς θαύμασιν,
ὅτι Χριστοῦ εὐωδία καὶ δοξασμὸς
ἐνοικεῖ ἐν τοῖς ἁγίοις Αὐτοῦ.

Τὴν Ἀττικὴν σκέπε πᾶσάν τε
καὶ τὴν Εὔβοιαν,
τὴν σὴν μονὴν καὶ ποίμνην
καὶ θεράποντας ταύτης,
ἄνεσιν παρέχων ἐκ τῶν δεινῶν,
πειρασμῶν τε καὶ θλίψεων·
χαρίζων πᾶσιν ὑγείαν καὶ προκοπὴν
καὶ τὴν χάριν τοῦ Σωτῆρος ἡμῶν.

Δόξα. Ἦχος πλ. α΄

Δεῦτε φιλεόρτων ὁ σύλλογος,
πνευματικὰς κιθάρας ἀνακρούοντες,
τὸν ὑποφήτην Πορφύριον ἀνυμνήσωμεν.
Οὗτος γὰρ ἀνήχθη ταῖς τῶν μυστικῶν θεωρίαις
καὶ παραδείσου ἀπέλαυσεν.

www.tezaurliturgic.ro



Ἰσάγγελος ἐν σώματι ἀνεδείχθη·
γνόφῳ τοῦ Θεοῦ ἐνῴκησεν, θεοειδὴς γεγονώς·
ὄντως δι᾽ αὐτοῦ τὸ Πνεῦμα ἐλάλησε.
Καὶ νῦν πρεσβεύει
παρεστὼς τῷ Κυρίῳ
ὑπὲρ πάντων,
τῶν τιμώντων
τὴν πάνσεπτον κοίμησιν αὐτοῦ.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,
καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος,
τὴν πόλιν τὴν ἄσειστον,
τὸ τεῖχος τὸ ἄῤῥηκτον,
τὴν ἀῤῥαγῆ προστασίαν,
καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

## ΑΠΟΣΤΙΧΑ

Ἦχος β΄. *Οἶκος τοῦ Ἐφραθᾶ.*

Χαίροις τῶν ἀσκητῶν
ὁ θεῖος ὑποφήτης
καὶ ὀρθοδόξων κλέος,
πηγὴ θαυμάτων, πάτερ,
Πορφύριε τρισόλβιε.

Στίχ. *Τίμιος ἐναντίον Κυρίου
ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.*

www.tezaurliturgic.ro



Ὅλος ἐν προσευχῇ
καὶ ἀγρυπνίᾳ ἦσθα,
ἐν ταπεινοφροσύνῃ
διακονῶν τὰ πλήθη,
τῶν πίστει προστρεχόντων σοι.

Στίχ. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.*

Ἔφριξεν ἐπὶ σοὶ
ἡ Πάτμος ἡ ἁγία,
μετὰ τὸν Ἰωάννην
ἰδοῦσά σε, τὴν θείαν
ὁρῶντα Ἀποκάλυψιν.

Δόξα. Τριαδικόν.

Χάριτος ἐμπλησθεὶς
Τριαδικῆς Μονάδος,
θεόπτης ἐγεγόνει
Φωτὶ ἐν τῷ Ἀκτίστῳ
Πορφύριος ὁ ἔνθεος.

Καὶ νῦν Θεοτοκίον.

Χάριτι σῇ ἀθλῶν
ἐν Καυσοκαλυβίοις
Πορφύριος, Παρθένε,
προφήτης ἀνεδείχθη
καὶ μύστης διοράσεως.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro



# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ.΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος δ.΄ *Ὡς γενναῖον ἐν Μάρτυσιν.*

Τῆς Ἑλλάδος φιλέορτοι,
γῆς ἁπάσης θεόφρονες,
συνελθόντες σήμερον εὐφημήσωμεν
τὸν θεῖον ὄντως Πορφύριον,
τὸν βίῳ ἰσάγγελον,
καὶ προφήτην ἀληθῶς,
ὀρθοδόξων ἀγλάϊσμα
καὶ τὸ καύχημα,
τῆς Τριάδος τὸν μύστην, τὸν τὴν χάριν,
ταπεινώσει δουλωθέντα,
τοῦ Παρακλήτου πλουτήσαντα.

Ἐν τῷ Ἄθωνι ἤνθησας
ὥσπερ ἄνθος μυρίπνοον,
καὶ τὰ πλήθη εὔφρανας τῇ ἡδύτητι
τῆς τοῦ σοῦ λόγου ἁπλότητος·
καί, θείᾳ πραότητι,
εἰρηνεύων τὰς ψυχάς,

www.tezaurliturgic.ro



πρὸς λιμένα τὸν εὔδιον
ἄγεις ἅπαντας,
εἰς Χριστοῦ τὴν ἁγίαν Ἐκκλησίαν,
ἔνθα ἔστι σωτηρία
καὶ παραδείσου ἀπόλαυσις.

Ὡς ἀστὴρ φαεινότατος
ἐξ Εὐβοίας ἀνέτειλας,
καταυγάζων ἅπασαν τὴν ὑφήλιον
τῶν χαρισμάτων ταῖς λάμψεσιν
καὶ ὅλῃ λαμπρότητι
σῆς ἁγίας βιοτῆς,
τῶν ὁσίων, Πορφύριε,
ἐγκαλλώπισμα·
τῆς ἀγάπης δ' ἐνσάρκωσις ἐγένου
καὶ συγγνώμης τύπος πᾶσι,
ὑπομονῆς καὶ ἁπλότητος.

Ἀγαπήσας τὸν Κύριον,
ταπεινῶς ὑπηρέτησας
Ἐκκλησίᾳ, ὅσιε, ἐκ νεότητος·
καὶ τοῖς νοσοῦσι κεχάρισαι
ἰάσεις ἐν θαύμασι,
Παρακλήτου δωρεάς·
καὶ διάκρισιν ἔλαβες
καὶ διόρασιν
καὶ τὴν χάριν προβλέπειν γεγονότα
τὰ ἐσόμενα τῷ κόσμῳ,
τὰ ὑφ' ἡμῶν ἀκατάληπτα.

Ἐν τῷ βάθει, Πορφύριε,
τῆς Χριστοῦ ταπεινώσεως

www.tezaurliturgic.ro



καταβάς, ὑψώθης πρὸς τὰ ἀπόῤῥητα
Χριστοῦ τὰ θεῖα μυστήρια,
καὶ τούτοις ἐτρύφησας,
καὶ ἐγένου θεατὴς
τῶν μελλόντων ἐμβρόντητος,
Ἰωάννης ὡς,
ἐν τῇ Πάτμῳ ἰδὼν ἀποκαλύψεις,
φωτισμῷ τοῦ Παρακλήτου,
ἱερομύστα πανόσιε.

Ἀρετῶν ἐνδυσάμενος
τὴν πορφύραν, Πορφύριε,
ἐν χοροῖς παρίστασαι, ὡς ἰσάγγελος
θείων ἀγγέλων ὁλόφωτος,
καὶ ψάλλεις γηθόμενος,
καὶ ὑμνεῖς ἐν οὐρανοῖς
Τρισηλίου θεότητος
δόξαν ἄφθιτον·
καὶ Χριστὸν διαπύρως ἱκετεύεις
τοῦ δωρῆσαι τοῖς ἀνθρώποις
τῆς μετανοίας ἀπόλαυσιν.

Δόξα. Ἦχος πλ. β.΄

Σήμερον ἀνέτειλεν, ὡς ἀστὴρ περιφανής,
ἡ τοῦ ὁσίου Πορφυρίου πανσεβάσμιος μνήμη
τὴν ἐκκλησίαν τῶν πιστῶν καταυγάζουσα.
Δεῦτε οὖν οἱ πᾶσαν τὴν Ἀττικὴν οἰκοῦντες,
ἱεροῖς ἐγκωμίοις
τοῦτον τιμήσωμεν λέγοντες·
χαίροις, ὁ ἐν πόνοις ἀθλήσας

www.tezaurliturgic.ro



καὶ ἐν νίκαις χρηματίσας
τῶν παλαιῶν ὁσίων ἐφάμιλλος·
χαίροις, ὁ ἐν σαρκὶ
ὡς ἄγγελος Θεὸν διακονήσας,
ταπεινώσεως στολῇ καλυπτόμενος·
χαίροις, ὁ λαμπρότατος ναὸς
τῆς ἁγνείας καὶ τῆς ἀγαθότητος,
καὶ μυστηρίοις θείοις
γνώσει μεμυημένος.
Πρέσβευε οὖν ὑπὲρ ἡμῶν τῷ Κυρίῳ,
τῶν εὐγνωμόνως τιμώντων
καὶ ἀνυμνούντων τὴν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε,
Παναγία Παρθένε;
τίς μὴ ἀνυμνήσει σου
τὸν ἀλόχευτον τόκον;
Ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς
ἐκλάμψας Υἱὸς μονογενής,
ὁ αὐτὸς
ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν,
ἀφράστως σαρκωθείς,
φύσει Θεὸς ὑπάρχων,
καὶ φύσει γενόμενος
ἄνθρωπος δι᾽ ἡμᾶς,
οὐκ εἰς δυάδα
προσώπων τεμνόμενος,
ἀλλ᾽ ἐν δυάδι φύσεων,
ἀσυγχύτως γνωριζόμενος.

www.tezaurliturgic.ro



Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε,
ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, τὸ "Φῶς ἱλαρόν", τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα

(Κεφ. γ' 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

www.tezaurliturgic.ro



## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα
(Κεφ. ε.΄ 15-23 καὶ στ.΄ 1-3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

www.tezaurliturgic.ro



## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα
(Κεφ. δ.΄ 7-15)

Δίκαιος δὲ ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη· ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς, ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ὁσίοις αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ.

Ἰδιόμελα.
Ἦχος α.΄

Ὅσιε πάτερ Πορφύριε,
πολλῇ παῤῥησίᾳ χρώμενος
πρὸς Χριστὸν τὸν Θεόν,
ὃν παιδιόθεν ὁλοψύχως ἠγάπησας,

www.tezaurliturgic.ro



καὶ ὡς λαμπὰς δι᾽ Αὐτόν, τῇ ἀσκήσει, ἐτάκης,
ταύτην τὴν Μονήν σου,
ἣν μόχθοις πολλοῖς καὶ ἱδρῶσιν ἀνήγειρας,
φύλαξον ὡς ἄγγελος,
ἐξ ἐχθρῶν καὶ κινδύνων.
Καὶ ἡμᾶς, τὰς ἐν αὐτῇ ἀσκουμένας περιφρούρησον
ἐν ἀγάπῃ καὶ ὑπομονῇ,
ἵνα ὦμεν ἕν, συμφώνως τῇ εὐχῇ σου,
τῇ πρὸ τῆς κοιμήσεώς σου ἐν τῷ Ἄθωνι.
Μνήσθητι, πάτερ,
τῆς ἐπιγείου ἐνταῦθα πολιτείας σου
καὶ ἀνάδειξον ἡμᾶς, τὰ τέκνα σου,
κληρονόμους τῶν ἀρετῶν
καὶ τοῦ μακαριστοῦ τέλους σου,
ἵνα σε, ὡς προστάτην καὶ εὐεργέτην ἡμῶν,
ἀεὶ μεγαλύνωμεν.

Ἦχος β.´

Ὁσιακῇ ἐκλάμψας πολιτείᾳ,
θεαρέστων πράξεων τύπος
καί, ὄντως, μοναχῶν ὑπόδειγμα
ἀνεδείχθης, πάτερ ὅσιε.
Διὰ Χριστὸν γὰρ ἀθλήσας,
ἠξιώθης θείου στέμματος.
Καὶ εἰς ὕψος νοητὸν τὸν νοῦν ἐπάρας,
θεωρίας μύστης ἐγένου,
καὶ ἀγγέλων συμπολίτης.
Καὶ ὄμμα θεῖον ἀναδειχθείς,
τὰ κρυπτὰ τοῖς ἀνθρώποις
τῇ διοράσει πάντα ἐδείκνυς,

www.tezaurliturgic.ro



προκαλῶν πᾶσι τὴν ἔκπληξιν,
διόπερ τὴν χάριν καὶ ἀρετήν σου ἐθαύμαζον.
Ἀλλ', ὦ πάτερ σοφέ, Πορφύριε,
πρέσβευε ὑπὲρ τῶν τιμώντων σε.

### Ἦχος γ.'

Τῇ φωταυγείᾳ τοῦ Πνεύματος
μυστικῶς καταλαμπόμενος,
νοημάτων θείων ἀληθὴς προφήτης
ἐχρημάτισας Πορφύριε.
Τῶν ἀσκητῶν γὰρ ἀγῶνας,
ζήλῳ, πάντας ὑπερκεράσας,
ὕψος δυσανάβατον ἀρετῶν κατέλαβες.
Πλεῖστα δὲ χαρίσματα,
ὡς λαβών, τῷ Πνεύματι,
τοῖς δεομένοις, θαύμασι, παρέχεις δωρεὰς πολλάς.
Καὶ τῷ βίῳ σου τοὺς πάντας διδάσκων,
προσκαλεῖς τούτους πρὸς μετάνοιαν.
Ἀλλ' ὡς πατὴρ οἰκτίρμων, ὅσιε,
ἱκέτευε σωθῆναι
τὰς ψυχὰς τῶν προσφευγόντων,
τῇ παρρησίᾳ σου.

### Ἦχος δ.'

Ἀσκητικῶν παλαισμάτων σου, σοφέ,θρίαμβον
καὶ τὴν θείαν δόξαν,
ἣν ἔλαβες σὺ ὡς ἔπαθλον,
τίς δύναται εἰπεῖν ἐν λόγοις ποτὲ
καὶ ὑμνῳδῆσαι, τρισόλβιε;

www.tezaurliturgic.ro



Διό σε τιμῶμεν ἅπαντες,
οἱ τὴν σὴν καρπωθέντες χάριν,
καὶ λαβόντες πολλάκις
ἀρωγὴν διὰ σοῦ, ἀοίδιμε.
Καὶ νῦν ἐν οὐρανοῖς εὐφραινόμενος,
πρέσβευε Χριστῷ τῷ Θεῷ,
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος β΄.

Ὥσπερ ἔλαφος διψῶσα, ὅσιε πάτερ,
ἔσπευσας παιδιόθεν
πρὸς πηγὰς πνευματικάς,
τῆς ἐρήμου τοῦ Ἄθωνος.
Καὶ τῷ ζῶντι ὕδατι
πληρωθεὶς τὴν καρδίαν,
εὐφροσύνην τῆς χάριτος
ἀνέβλυσας τοῖς ἀνθρώποις.
Χαρίσματα ἐδέξω οὐράνια,
ἀσκῶν ὑπακοὴν καὶ ταπείνωσιν·
ναὸς ὄντως ἐδείχθης τοῦ Πνεύματος.
Καὶ νῦν Χριστὸν δυσώπει ὑπὲρ ἡμῶν,
ἐπιτελούντων πιστῶς
τὴν πανέορτον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον. Τὴν πᾶσαν ἐλπίδα μου...

www.tezaurliturgic.ro



## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ.

Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α΄ *Χαίροις ἀσκητικῶν.*

Χαίροις τῶν μοναστῶν καλλονή,
τῶν ἱερέων περιλάλητον σέμνωμα,
τὸ κλέος τῆς Ἐκκλησίας,
ὁ καθαρώτατος νοῦς,
ὁ τῆς ἀπαθείας
μύστης ἄριστος,
πραότητος πρότυπον,
ταπεινώσεως σκήνωμα,
καὶ ἐραστὴς
τῆς προσευχῆς μανικώτατος,
ἁγιότητος
ἐκμαγεῖον θαυμάσιον·
ἄνθος τὸ παραδείσιον
καὶ ῥόδον ἁγνότητος,
τὸ τὴν Χριστοῦ Ἐκκλησίαν
εὐωδιάζον, Πορφύριε.
Χριστὸν ἐκδυσώπει,
ταῖς ψυχαῖς ἡμῶν δοθῆναι,
τὸ μέγα ἔλεος.

Στίχ. *Τίμιος ἐναντίον Κυρίου...*

Χαίροις ἡ ἱερὰ κεφαλή,
νήσου Εὐβοίας ὁ βλαστὸς ἱερώτατος,
ἀγάπης καὶ τῆς συγγνώμης

www.tezaurliturgic.ro



καὶ τοῦ ἐλέους πηγή,
Παρακλήτου οἶκος
ἁγιώτατος·
φωστὴρ τὴν ὑφήλιον,
καταυγάζων τοῖς θαύμασιν,
τῶν πλανωμένων
ὁδηγὸς πρὸς τὸν Κύριον,
διοράσεως
ὑψιπέτης χρυσάετος·
λύχνος ὁ παμφαέστατος
τῆς θείας ἐλλάμψεως,
ὁ τὰ ἀπόῤῥητα φαίνων,
ἀποκαλύπτων μυστήρια.
Χριστὸν ἐκδυσώπει
ταῖς ψυχαῖς ἡμῶν δοθῆναι
τὸ μέγα ἔλεος.

Στίχ. *Μακάριος ἀνὴρ*
*ὁ φοβούμενος τὸν Κύριον...*

Ὅλος ἀφιερώθης Χριστῷ
καὶ παιδιόθεν ἐν τῷ Ἄθωνι ἤθλησας,
συνόμιλος τῶν ἀγγέλων,
οἰκῶν ἐν γῇ, γεγονὼς
καὶ τοῦ Παρακλήτου
ἐνδιαίτημα,
δαιμόνων ἀντίπαλος,
ὧν τὰ θράση διέλυσας
καὶ νοσημάτων
ἰατρὸς ὁ ἀλάνθαστος,
ὁ ἰώμενος

www.tezaurliturgic.ro



πάντα πάθη, Πορφύριε·
τύπος Χριστοῦ ὁ ἔμψυχος,
οὐράνιος ἄνθρωπος,
ὠκεανὸς εὐσπλαγχνίας,
ἁμαρτωλῶν καταφύγιον.
Ἱκέτευε, πάτερ,
ταῖς ψυχαῖς ἡμῶν δοθῆναι
τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. β΄.

Τὴν τῶν ὁσίων καλλονήν,
τῶν ἀσκητῶν τὴν δόξαν,
πηγὴν τὴν τῶν θαυμάτων
καὶ πρὸς Χριστὸν ἱκέτην τὸν ἀκοίμητον,
συνελθόντες, ὦ φιλέορτοι,
ἀγαλλομένῃ καρδίᾳ ὑμνήσωμεν λέγοντες·
Χαίροις, ὁ ἀσκουμένων ἐν κόσμῳ κανὼν
καὶ ὁδηγὸς τοῦ βίου ἀκριβέστατος·
Χαίροις, ἀστὴρ ὁ λαμπρότατος,
ἀρετῶν ταῖς λάμψεσι καταυγάζων τὴν σύμπασαν·
Χαίροις, ποντιζομένων λιμὴν καὶ προστασία
καὶ πατὴρ ἁπάντων τῶν ἀπωρφανισμένων.
Σὺ τοιγαροῦν, ὦ Πορφύριε,
ἀπαύστως δυσώπει Χριστῷ τῷ Θεῷ
ὑπὲρ τῆς μάνδρας σου ταύτης
καὶ πάντων ἡμῶν,
τῶν τιμώντων σου τὴν σεβάσμιον κοίμησιν.

Καὶ νῦν. Θεοτοκίον.

www.tezaurliturgic.ro



Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή,
ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς·
σὲ ἱκετεύομεν· πρέσβευε Δέσποινα,
μετὰ τῶν Ἀποστόλων καὶ πάντων τῶν Ἁγίων,
ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἀπολυτίκιον.

Ἦχος α΄ *Τῆς ἐρήμου πολίτης.*

Τῆς Εὐβοίας τὸν γόνον,
πανελλήνων τὸν Γέροντα,
τῆς Θεολογίας τὸν μύστην
καὶ Χριστοῦ φίλον γνήσιον,
Πορφύριον τιμήσωμεν, πιστοί,
τὸν πλήρη χαρισμάτων ἐκ παιδός.
Δαιμονῶντας γὰρ λυτροῦται, καὶ ἀσθενεῖς
ἰᾶται πίστει κράζοντας·
δόξα τῷ δεδωκότι σοι ἰσχύν,
δόξα τῷ σὲ ἁγιάσαντι,
δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν,
ἀνυμνοῦμεν Θεοτόκε Παρθένε·
ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ,

www.tezaurliturgic.ro



ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν,
τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος,
ἐλυτρώσατο ἡμᾶς
ἐκ φθορᾶς, ὡς φιλάνθρωπος.

Ἀπόλυσις.

www.tezaurliturgic.ro



# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α.΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος α.΄ *Τὸν τάφον σου, Σωτήρ.*

Χαρίσματα δεχθεὶς
ἐν τῷ Ἄθωνι, πάτερ,
ὡς ἄστρον φαεινὸν
ἀνεδείχθης τῷ κόσμῳ,
φωτίζων τοῖς λόγοις σου
καὶ τῷ σῷ παραδείγματι,
τοῖς δὲ θαύμασι
τὴν Ἐκκλησίαν δοξάζων,
καὶ μυστήρια
ἀποκαλύπτων ἀνθρώποις·
διό σε δοξάζομεν.

Δόξα. Τὸ αὐτό.
Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Παρθένε, μυστικὸν
κρίνον τοῦ Παραδείσου,
ἀγγέλων χαρμονή,
χαρισμάτων ταμεῖον,

www.tezaurliturgic.ro



Χριστῷ ἀεὶ πρέσβευε
τῶν πταισμάτων τὴν ἄφεσιν
δοῦναι, Πάναγνε,
πᾶσι τιμῶσιν ἀξίως
καὶ γεραίρουσι
μνήμην κλεινοῦ Πορφυρίου,
Χριστὸν ἀγαπήσαντος.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος πλ. α΄ *Τὸν συνάναρχον Λόγον.*

Ἐγκοσμίων ὁσίων τὸ ἐγκαλλώπισμα,
σκορπίζων Ἄθωνος δρόσον
ἐν Ὁμονοίᾳ, σοφέ,
διηκόνεις ταπεινῶς
νοσοῦσιν, ὅσιε.
Θαύματα δὲ ἐπιτελῶν,
ἀνεδείχθης ἰατρὸς
ἀλάνθαστος νοσημάτων.
Ἰσάγγελος ἐν τῷ κόσμῳ
ἐγένου, πάτερ, ἐραστὰ τοῦ Χριστοῦ.

Δόξα. Τὸ αὐτό.
Καὶ νῦν. Θεοτοκίον.

Παναγία Παρθένε, Μῆτερ Θεοῦ ἡμῶν,
δεινῶν καὶ πόνων τὴν λύσιν
ψυχῆς ἐν πόνῳ ζητῶν,
Πορφυρίου ταῖς λιταῖς
παράσχου Δέσποινα.

www.tezaurliturgic.ro



Πρέσβευε δὲ τῷ σῷ Υἱῷ
προσκυνοῦντάς σε πιστῶς
φυλάττειν παντὸς κινδύνου·
καὶ διδόναι τοῖς σοῖς ἱκέταις
τυχεῖν, Παρθένε, Παραδείσου τερπνοῦ.

Μετὰ τὸν Πολυέλαιον, Κάθισμα.

Ἦχος δ.΄ *Ἐπεφάνης σήμερον.*

Ἀσκητῶν, Πορφύριε,
ἁπάντων ἀκρότης
ἐν τῷ κόσμῳ δέδειξαι,
ζωὴν ἰσάγγελον βιῶν·
διὸ ὑμνοῦμεν, πανθαύμαστε,
σοῦ τὴν ἀγάπην
καὶ ἄκραν ταπείνωσιν.

Δόξα. Τὸ αὐτό.
Καὶ νῦν. Θεοτοκίον.

Ταῖς πρεσβείαις, Κύριε,
ἁγνῆς Μητρός Σου
καὶ τοῦ Σοῦ θεράποντος
τοῦ Πορφυρίου ταπεινοῦ,
παράσχου πᾶσι ἀπόλαυσιν
τῆς οὐρανίου, Χριστέ, Βασιλείας Σου.

Τὸ α.΄ ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ.΄ ἤχου.

www.tezaurliturgic.ro



Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου
ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσομεν τῷ Κυρίῳ
περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν.

(Τὸ Πᾶσα πνοή)

Εὐαγγέλιον κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰ μὴ ὁ Πατήρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Ὁ Ν.´ Ψαλμός. Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου...
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β.´

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

www.tezaurliturgic.ro



Τὰ ἐπὶ γῆς ἀπαρνηθεὶς τερπνά,
τὰ οὐράνια, Πορφύριε, ἐδέξω
παρὰ Χριστοῦ τοῦ Θεοῦ,
ὡς γέρα τῶν πόνων σου·
ὅτι καθαρᾷ τῇ καρδίᾳ
καὶ ταπεινώσει πολλῇ, σοφέ,
ἐπολιτεύθης ὄντως,
καὶ μιμητὴς τῶν ἁγίων ἐγένου.
Τῇ δὲ πραότητι τῇ σῇ
πολλοὺς ὡδήγησας εἰς Χριστόν,
ἐν ᾧ καὶ σὺ ὡς ἥλιος ἔλαμψας
πρὸς δόξαν Θεοῦ,
τοῦ σὲ λαμπρῶς δοξάσαντος.

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Εἶτα ὁ κανὼν τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς·

*"Πορφύριον ᾄσω κλέος ὁσίων. Εὐαγγέλου"*

Ὠδὴ α.′ Ἦχος δ.′ *Ἀνοίξω τὸ στόμα μου.*

Παράκλητε δώρησαι
σοφίας λόγον καὶ χάριτος
ὑμνῆσαι Πορφύριον,
τὸν τῆς Εὐβοίας βλαστόν,
τὸν ἀθλήσαντα
ἐν Καυσοκαλυβίοις,
καὶ χάριν δεξάμενον
τῆς διοράσεως.

www.tezaurliturgic.ro



Ὁσίως ἐβίωσας
ἐν τῇ ἐρήμῳ τοῦ Ἄθωνος,
ὑπείκων τοῖς γέρουσι
μετὰ χαρᾶς καὶ τιμῶν,
τὴν ταπείνωσιν
δεχθεὶς ἐν τῇ καρδίᾳ,
καὶ χάριν τοῦ Πνεύματος
ἐγκολπωσάμενος.

Ῥόδον εὐωδέστατον
ἐδείχθης ὄντως τῆς χάριτος,
σκορπίζον ἀρώματα
τῶν οὐρανῶν τοῖς πιστοῖς,
τὴν πραότητα
καὶ ἀνεξικακίαν,
ἀγάπην, ταπείνωσιν
σὺν τῇ ἁπλότητι.

Θεοτοκίον.

Φαιδρύνεις τὰ σύμπαντα,
Παρθενομῆτορ, τῷ τόκῳ σου,
φθορὰν ἀφανίζουσα
τῆς ἁμαρτίας, ἁγνή,
καὶ παρέχουσα
χαρὰν τὴν οὐρανίαν·
διὸ ἀγαλλόμενοι
πάντες ὑμνοῦμέν σε.

www.tezaurliturgic.ro



ᾨδὴ γ΄. Ὁ Εἱρμός. *Τοὺς σοὺς ὑμνολόγους.*

Ὑπῆρξας ναὸς τοῦ Παρακλήτου
καὶ μάρτυς τῆς χάριτος αὐτοῦ,
νοσήματα ἰώμενος,
προλέγων τὰ ἐσόμενα,
ἐκβάλλων δὲ καὶ δαίμονας
ταῖς σαῖς εὐχαῖς, ὁσιώτατε.

Ῥοαῖς τῶν δακρύων σου, τρισμάκαρ,
ἐν ταῖς παννυχίοις σου εὐχαῖς,
ἀρχόντων παραπτώματα
ἀπέπλυνας, πανόσιε,
γαλήνην χαρισάμενος
τῷ ταλαιπώρῳ λαῷ ἡμῶν.

Ἰώβειον ἔδειξας, παμμάκαρ,
ἐν πόνοις τοῖς σοῖς ὑπομονὴν
τῶν νόσων τῶν ποικίλων σου·
τοὺς ἄλλους δὲ ἰώμενος,
οὐδέποτε ἐζήτησας
τῶν νοσημάτων σου ἴασιν.

Θεοτοκίον.

Ὁ πάντων Σωτὴρ καὶ ἀντιλήπτωρ,
τὴν βρότειον σάρκα προσλαβὼν
ἐκ τῶν ἁγνῶν αἱμάτων σου,
τὸν κόσμον ἐλυτρώσατο,
τῶν οὐρανῶν βασίλισσαν
ἀναγορεύσας σε, Πάναγνε.

www.tezaurliturgic.ro



## Κάθισμα.

Ἦχος δ΄ *Ὁ ὑψωθείς.*

Τῶν τῆς ἐρήμου ἀθλητῶν ἡ ἀκρότης,
τῶν ἐγκοσμίων ἀσκητῶν ὁ κοσμήτωρ
καὶ ἱερέων πρότυπον πιστὸν καὶ ὁδηγός,
ὤφθης, ἱερώτατε,
καὶ ἰσάγγελος ὄντως,
ἰαμάτων βρύσις τε,
χαρισμάτων ταμεῖον.
Καὶ νῦν παρίστασαι Χριστῷ ἐν οὐρανοῖς
πρεσβεύων, πάτερ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν
ἁμαρτωλοὶ καὶ ταπεινοὶ καὶ προσπέσωμεν
ἐν μετανοίᾳ, κράζοντες ἐκ βάθους ψυχῆς·
Δέσποινα βοήθησον,
ἐφ᾽ ἡμῖν σπλαγχνισθεῖσα·
σπεῦσον ἀπολλύμεθα,
ὑπὸ πλήθους πταισμάτων·
μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς·
σὲ γὰρ καὶ μόνην
ἐλπίδα κεκτήμεθα.

Ὠδὴ δ΄ *Ὁ καθήμενος ἐν δόξῃ.*

Νοσημάτων θεραπεῖαι
δυσαρίθμητοι, ὅσιε,
ἐν τῇ Μαλακάσῃ,

www.tezaurliturgic.ro



ἔνθα σὴ Μονή, συντελούμεναι
ἀνακηρύσσουσι μέγα, θεῖον χάρισμα,
ὅπερ ἔλαβες,
τῇ ταπεινώσει κοσμούμενος.

Ἀπαθείας ὤφθης οἶκος
καὶ ἁγνείας κειμήλιον·
ὅθεν, ἐμπειρίᾳ,
τῇ Θεολογίᾳ ἐθήτευσας,
ἀποκαλύψεων θείων πεῖραν δ' ἔλαβες,
ἀνυψούμενος
εἰς τὰ οὐράνια, ὅσιε.

Σεβασμίαν κεφαλήν σου
φῶς ἐκάλυπτεν ἄκτιστον,
ὑπὲρ φῶς ἡλίου
λάμψιν χορηγόν σοι, μακάριε,
καὶ θεολόγον ποιοῦν σε θεοδίδακτον,
καὶ παρέχον σοι
διόρασίν τε πρόορασιν.

Θεοτοκίον.

Ὡς πηγὴν χάριτος θείας
καὶ ὡς πόκον θεόδροσον,
θείου μάννα στάμνον,
οὐρανίου μύρου ἀλάβαστρον,
καὶ ὡς ἐλέους τὴν κρήνην σε δοξάζομεν,
ἀπειρόγαμε,
Παρθενομῆτορ, Θεόνυμφε.

www.tezaurliturgic.ro



ᾨδὴ ε΄ Ὁ Εἱρμός. *Ἐξέστη τὰ σύμπαντα.*

Κινδύνων ἐκλύτρωσον
ἡμᾶς, καὶ νόσων ἴασαι,
ὅσιε Πορφύριε, καὶ δίδου
εὐχήν σου θείαν
ἁγιασθῆναι ἡμᾶς,
καὶ πάντας εὑρεῖν ἐν οὐρανοῖς
τῶν πταισμάτων ἄφεσιν,
Παραδείσου ἀπόλαυσιν.

Λαμπρᾶς ῥίζης βλάστημα,
Εὐβοίας γόνος, ὅσιε,
ἄνθος εὐθαλέστατον ἐφάνης·
καὶ τῷ Σωτῆρι
ἀνατεθεὶς ἐκ παιδός,
ἀγλάϊσμα ὤφθης ἀσκητῶν,
τῶν γερόντων καύχημα
καὶ ἀγγέλων συνόμιλος.

Ἐθαύμασαν ἄγγελοι
ὁρῶντές σε, πανθαύμαστε,
μέσοις οὐρανοῖς περιπολοῦντα,
ἔτι φοροῦντα
τὸ σκῆνος τὸ τῆς σαρκός,
θεάματα βλέποντα καινά,
ἄρρητα ἀκούοντα,
τοῖς ἀνθρώποις ἀπρόσιτα.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Ὁ Λόγος, Πανάμωμε,
ἀνθρώπους ἐπεσκέψατο,
σάρκα προσλαβὼν ἐκ σῶν αἱμάτων·
καὶ ἀφανίσας
τὴν τοῦ θανάτου φθοράν,
ζωὴν ἐδωρήσατο ἡμῖν,
θείας βασιλείας τε
κληρονόμους ἀνέδειξε.

ᾨδὴ στ΄. Ὁ Εἱρμός. *Τὴν θείαν ταύτην καὶ πάντιμον.*

Σωτῆρα πάντων ἠγάπησας
ἐν ὅλῃ σου ψυχῇ, ἱερώτατε,
καὶ ὑπηρέτησας
Αὐτῷ, δυνάμει τῆς χάριτος,
ἐν ταπεινώσει, πάτερ,
καὶ ἐν ἁπλότητι.

Ὁρῶν ἀπόῤῥητα, ὅσιε,
χαρίσματί σου τῷ διορατικῷ
καὶ προορατικῷ,
τὰ ὠφελοῦντα προέλεγες,
καὶ προσιόντας πάντας
Χριστῷ ἐστήριζες.

Σωθῆναι πάντας ἱκέτευε
Σωτῆρα τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν

www.tezaurliturgic.ro



τοὺς ἀγαπῶντάς σε·
καὶ τὴν μονήν σου διάσωσον
ἐκ τῶν παγίδων, πάτερ,
τοῦ πολεμήτορος.

Θεοτοκίον.

Ἰδοὺ οἱ δοῦλοί σου, Δέσποινα,
ἐν θλίψεσι καὶ πόνοις στενάζοντες,
σὲ ἱκετεύομεν·
τοῦ Πορφυρίου εὐχαῖς, ἁγνή,
ἐκ τῶν δεινῶν καὶ πόνων
παράσχου λύτρωσιν.

Κοντάκιον.

Ἦχος πλ. δ.' *Τῇ Ὑπερμάχῳ.*

Τοῦ Παρακλήτου τὸν ναὸν τὸν ἁγιώτατον,
καὶ τῆς πανάγνου Θεοτόκου προσφιλέστατον
ἀνυμνήσωμεν Πορφύριον ἐκ καρδίας.
Ἀγαπᾷ γὰρ καὶ ἰᾶται πάντας καὶ φρουρεῖ,
καὶ πρεσβεύει, ὅπως τύχωμεν θεώσεως.
Ὅθεν κράζομεν· χαίροις, πάτερ Πορφύριε.

Ὁ οἶκος.

Ἄγγελος τῆς ἀγάπης
τοῦ Θεοῦ πρὸς ἀνθρώπους,
Πορφύριε παμμάκαρ, ἐπώφθης·
καταστὰς μοναχῶν καλλονή,
ἱερέων τε σεμνὸν ἐγκαλλώπισμα,

www.tezaurliturgic.ro



τῷ κόσμῳ διηκόνησας,
κραυγάζοντι πρὸς σὲ τοιαῦτα·

Χαῖρε, πατὴρ ὀρφανῶν καὶ ξένων·
Χαῖρε, ἀστὴρ ἀληθῶν ποιμένων.
Χαῖρε, ἐγκοσμίων ἁγίων ὡράϊσμα·
Χαῖρε, τῶν ὁσίων ἁπάντων ἀγλάϊσμα.
Χαῖρε, ἄνθος εὐωδέστατον Παραδείσου μυστικοῦ·
Χαῖρε, φῶς τὸ ἱερώτατον οὐρανοῦ πνευματικοῦ.
Χαῖρε, ὅτι τυγχάνεις ἰατρὸς νοσημάτων·
Χαῖρε, ὅτι ἐφάνης ἐραστὴς τῶν δογμάτων.
Χαῖρε, Θεοῦ μυστηρίων ὁ μύστης·
Χαῖρε, δι᾽ οὗ ἑδραιοῦται ἡ πίστις.
Χαῖρε, λαμπρὰ Ἐκκλησίας λυχνία·
Χαῖρε, χαρὰ μυστικῶν οὐρανία.
Χαίροις, πάτερ Πορφύριε.

Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς β.´ Δεκεμβρίου. Εἶτα λέγομεν.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Πορφυρίου, τοῦ Καυσοκαλυβίτου, τοῦ διορατικοῦ καὶ θαυματουργοῦ.

Στίχ. Τὸν Καλυβίτην, Πορφύριε, ζηλώσας,
Ἄθωνι ἔδραμες ἀσκήσει βιώσας.

Δευτερίῃ Πορφύριος γῆν ἀντήλλαξε Παραδείσῳ.

www.tezaurliturgic.ro



## Συναξάριον.

Οὗτος ὁ ὅσιος πατὴρ ἡμῶν Πορφύριος ὁ Καυσοκαλυβίτης ἐγεννήθη ἐν τῷ χωρίῳ Ἅγιος Ἰωάννης τῆς νήσου Εὐβοίας ὑπὸ γονέων εὐσεβῶν, ὠνομάζετο δέ, κατὰ κόσμον, Εὐάγγελος. Παιδιόθεν, βόσκων τὰ ὀλίγα πρόβατα τοῦ πτωχοῦ πατρὸς αὐτοῦ, ἐμελέτα τακτικῶς τὸν βίον τοῦ ἁγίου Ἰωάννου τοῦ Καλυβίτου. Ἐγεννήθη οὕτως εἰς τὴν καρδίαν αὐτοῦ πόθος διάπυρος, ἵνα ἀπέλθῃ εἰς τὸν Ἄθωνα καὶ μονάσῃ ἐκεῖ. Εὐδοκίᾳ δὲ καὶ προνοίᾳ Θεοῦ ἐπέτυχε τοῦ σκοποῦ αὐτοῦ, καταφυγὼν εἰς τὴν καλύβην τοῦ ἁγίου Γεωργίου ἐν Καυσοκαλυβίοις. Ἐκεῖ ἀσκούμενος δι᾽ ἄκρας ἐγκρατείας, ἐπέδειξεν ἀδιάκριτον, μετὰ χαρᾶς, ὑπακοὴν εἰς τοὺς Γέροντας αὐτοῦ, Παντελεήμονα καὶ Ἰωαννίκιον, καὶ πολιτευθεὶς ἐν ἄκρᾳ ταπεινότητι, καὶ καθάρας ἑαυτόν, καὶ θεοειδὴς γενόμενος, ἠξιώθη λαβεῖν νεώτατος τὸ χάρισμα τῆς διοράσεως. Οἰκονομίᾳ δὲ τοῦ ἁγίου Θεοῦ ἠσθένησε βαρέως, ὥστε νὰ μὴ δύναται νὰ παραμείνῃ πλέον ἐν τῷ Ἄθωνι καὶ οὕτως ἠναγκάσθη νὰ ἐπιστρέψῃ εἰς τὸν κόσμον. Μονάσας ἐν συνεχείᾳ εἰς διαφόρους μονὰς τῆς νήσου Εὐβοίας καὶ ὑπηρετήσας τὸν λαὸν τοῦ Θεοῦ ὡς ἄριστος λειτουργὸς καὶ διακριτικὸς πνευματικός, ἦλθεν ἀκολούθως εἰς Ἀθήνας καὶ ὑπηρέτει εἰς τὸ ναΰδριον τοῦ ἁγίου Γερασίμου, πλησιέστατα τῆς Ὁμονοίας. Ἐν τῇ ταπεινώσει αὐτοῦ καὶ τῇ ἐκδαπανήσει ἑαυτοῦ ὑπὲρ τῶν πασχόντων σωματικῶς καὶ ψυχικῶς, ἠξιώθη μείζονος χάριτος παρὰ τοῦ Παρακλήτου, δεχθεὶς προσέτι τὰ χαρίσματα τοῦ ἰᾶσθαι τὰς ἀσθενείας καὶ τοῦ ἐκβάλλειν δαίμονας, οὐχὶ δι᾽ ἐξορ-

www.tezaurliturgic.ro



κισμῶν καὶ ἐπιτιμήσεων τῶν πονηρῶν πνευμάτων, ἀλλὰ διὰ μόνης ταπεινῆς, μυστικῆς εὐχῆς καὶ σημειώσεως τοῦ τιμίου Σταυροῦ. Ἠσκήτευσε δὲ ἐπί τινα χρόνον καὶ ἐν τῇ Ἱερᾷ Μονῇ τοῦ ἁγίου Νικολάου ἐν Καλλισίοις Ἀττικῆς. Πρὸς τὰς δυσμὰς τοῦ ἐπιγείου βίου αὐτοῦ ἠξιώθη ὑπὸ τοῦ Κυρίου, ἵνα ἀνεγείρῃ ἱερὸν ἡσυχαστήριον, ὑπὸ τὴν ἐπωνυμίαν τῆς Μεταμορφώσεως τοῦ Σωτῆρος, εἰς τὴν περιοχὴν Μήλεσι Ἀττικῆς.

Καθ' ὅλην τὴν διάρκειαν τῆς ἱερατικῆς αὐτοῦ διακονίας εὐηργέτησε πολλαχῶς πλήθη ἀμέτρητα ἀνθρώπων, ἰώμενος τὰς ψυχικὰς καὶ σωματικὰς ἀσθενείας αὐτῶν ἐκ τοῦ σύνεγγυς καὶ ἐξ ἀποστάσεως, ὁδηγῶν αὐτοὺς εἰς μετάνοιαν καὶ σωτηρίαν, προλέγων τὰ μέλλοντα γενέσθαι, ὁσάκις συνέφερε, καὶ ἐκβάλλων δαιμόνια.

Ἐτέλει δὲ ἐν ἐκτενέσιν ἀγρυπνίαις καὶ προσευχαῖς, δεόμενος ὑπὲρ τῆς σωτηρίας τῶν πολλῶν χιλιάδων πνευματικῶν αὐτοῦ τέκνων ἁπανταχοῦ τῆς γῆς. Κατὰ γενικὴν ὁμολογίαν ὑπῆρξεν ἀνήρ, παραδόξων πραγμάτων αὐτουργός. Ἐδέχετο καθ' ὕπαρ ἐπισκέψεις Ἁγίων τῆς Ἐκκλησίας καὶ συνωμίλει μετ' αὐτῶν. Ἠξιώθη δὲ ἐν Πάτμῳ ἰδεῖν, ὡς ἄλλος Ἰωάννης, σκηνὰς τῆς φοβερᾶς Ἀποκαλύψεως.

Τέλος, προϊδὼν τὸν χρόνον τῆς κοιμήσεώς του, ἀπῆλθεν εἰς ἅγιον Ὄρος, ἐν τῇ ἑαυτοῦ μετανοίᾳ, καὶ ἐν μέσῳ τῆς μοναχικῆς συνοδείας αὐτοῦ παρέδωκε τὴν ἁγίαν ψυχήν του τῷ Κυρίῳ, δεόμενος Αὐτοῦ διὰ τῶν λόγων τῆς ἀρχιερατικῆς προσευχῆς "ἵνα πάντες ἓν ὦσιν". (Ἰωάν. ιζ', 21).

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

www.tezaurliturgic.ro



Ὠδὴ ζ΄. *Οὐκ ἐλάτρευσαν.*

Ὢ παλαίσματα,
καὶ ἆθλα σὰ θαυμάσια,
τίς ἐξυμνήσειε!
Ὑπέβαλες τῇ σαρκὶ
νηστείαν καὶ ἄσκησιν
ἄκραν, πανόσιε·
καὶ νυχθήμερον
ἐν τῇ καρδίᾳ ἔτρεφες
τὴν εὐχήν, πάτερ, Κυρίου.

Νόσων, ὅσιε,
τῶν ἀνιάτων ἰατρός,
καὶ τῶν παθῶν ψυχῆς
ἐδείχθης πρὸς τοῦ Θεοῦ,
παρέχων ἰάσεις σου
ἐξ ἀποστάσεως,
εὐλογίαις σου,
τῇ διοράσει χρώμενος
πρὸς διάγνωσιν τελείαν.

Ἔρωτι Χριστοῦ
ἐτρώθη ἡ καρδία σου,
Πνεύματος χάριτι,
διὸ ἀπῆλθες, σοφέ,
πρὸς Ἄθωνος ἔρημον,
ἵνα συνῇς Αὐτῷ
προσευχόμενος
νυχθημερόν, τρισόλβιε,
καὶ βιῶν ἐν ταπεινώσει.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Ὕψιστον Θεὸν
ἐδέχθης ἐν νηδύϊ σου
τὸν Λόγον, Πάναγνε·
Παρθένος, ἄνευ φθορᾶς,
Σωτῆρα γεννήσασα,
τῇ ἀνθρωπότητι.
Ὅθεν, Δέσποινα,
ἀξίως μακαρίζομεν
σέ, καὶ πάντες προσκυνοῦμεν.

ᾨδὴ η΄. *Παῖδας εὐαγεῖς.*

Ἄνω τῆς ψυχῆς τὸ ὄμμα ἔχων,
τὴν μέλλουσαν βασιλείαν ἐκδεχόμενος,
πάντα δὲ τὰ γήϊνα
σκύβαλα ἡγούμενος,
πρὸς τὸν Σωτῆρα ἔσπευδες,
ἀγωνιζόμενος
τυχεῖν Αὐτοῦ τῆς θείας ἀγάπης,
καὶ ἀναλωθῆναι
Αὐτοῦ ἔρωτι, πάτερ.

Γέρων τῶν γερόντων ἀνεδείχθης,
μυρίων πνευματικὸς πατὴρ καὶ σύμβουλος,
σκήνωμα τοῦ Πνεύματος,
καὶ ταμεῖον χάριτος,
πηγὴ θαυμάτων, ὅσιε,
βρύων ἰάματα·
μυστήρια ἐδήλους ἀνθρώποις,

www.tezaurliturgic.ro



καί τῇ διοράσει
ἐξέπληττες τοὺς πάντας.

Γνόφῳ θείῳ, Πνεύματι, εἰσέδυς,
ἀσκήσει καὶ ταπεινώσει καθαρθείς, σοφέ,
ἔλλαμψιν δεχόμενος
καὶ περιλαμπόμενος·
καὶ τοῖς ἀνθρώποις ἄῤῥητα,
ξένα θεώμενος,
ἐν θείᾳ ἀλλοιώσει ἐτέλεις.
Ὅθεν σε, παμμάκαρ,
θαυμάζοντες ὑμνοῦμεν.

Θεοτοκίον.

Εὔφρανας τὸν κόσμον, Θεοτόκε,
τῷ μύρῳ τῆς παρθενίας σου μυρίσασα·
καὶ τὸ ῥόδον τέξασα
εὔοσμον, τὸν Κύριον,
τὴν οἰκουμένην ἅπασαν
κατευωδίασας.
Διό σε, ἀγαλλόμενοι, κόρη,
ἅπαντες ὑμνοῦμεν
αἰτοῦντες σὴν πρεσβείαν.

Ὠδὴ θ΄. *Ἅπας γηγενής.*

Λάμψας ὡς ἀστὴρ
ἐφώτισας ἅπαντας
τῇ ἁγιότητι·
καὶ διὰ θαυμάτων σου
τὴν Ἐκκλησίαν ὄντως ἐδόξασας.

www.tezaurliturgic.ro



Καὶ τὴν μονήν σου, ὅσιε,
τρανῶς ἀνέδειξας
ὡς τὴν νέαν
Σιλωὰμ τῆς χάριτος
κολυμβήθραν, τὰς νόσους ἰώμενος.

Ὄασις τερπνὴ
καὶ κῆπος τῆς χάριτος ἡ ὁμιλία σου,
κατευφραίνουσα πιστοὺς
καὶ πρὸς μονὰς τὰς θείας ἐπαίρουσα,
τὴν τῶν ἀγχῶν κατάθλιψιν
ἐξαφανίζουσα,
χορηγοῦσα
θάῤῥος καὶ ἐνίσχυσιν
πρὸς ἀγῶνας καὶ νίκας, Πορφύριε.

Ὕμνοις ἱεροῖς,
Πορφύριε, μέλψαντες
ὁσίαν μνήμην σου,
δώρησαι δεόμεθα
εἰρήνην πᾶσι καὶ τὴν μετάνοιαν
καὶ παραδείσου μέθεξιν
λιταῖς ἁγίαις σου
πρὸς Σωτῆρα,
καὶ παράσχου, ὅσιε,
εὐλογίαν, κρουνὸν θείας χάριτος.

Θεοτοκίον.

Ὕμνους σοι ἁγνή,
Παρθένε, Θεόνυμφε,

www.tezaurliturgic.ro



πάντες προσάγομεν,
ὅτι κατηξίωσας
τιμῆσαι μνήμην θείου θεράποντος
τοῦ σοῦ Υἱοῦ, Πανάμωμε,
ὃς συναγάλλεται
τοῖς ἀγγέλοις,
καὶ τὸν ὕμνον ἄληκτον
ἀναπέμπει Χριστῷ τῷ Θεῷ ἡμῶν.

Ἐξαποστειλάριον: *Γυναῖκες ἀκουτίσθητε.*

Ἠγάπησας ταπείνωσιν,
καὶ ἤσκησας ὑπακοήν,
ὅθεν ἐπλήσθης χαρίτων
τοῦ Παρακλήτου, παμμάκαρ,
πολλῶν θαυμάτων δὲ πηγὴ
ἐγένου καὶ ἰάσεων,
τοῖς ἀσθενοῦσιν, ὅσιε,
σὴν ἀρωγὴν ἐκζητοῦσιν.
Διὸ ὑμνοῦμέν σε, πάτερ.

Θεοτοκίον.

Παρθένε, μῆτερ τοῦ Χριστοῦ,
ἐλέησον τιμῶντάς σε,
πρεσβείαις τοῦ Πορφυρίου,
δούλου πιστοῦ τοῦ Κυρίου.
Ἡμῶν τὸ ἔθνος φύλαξον
ἀπὸ κινδύνων καὶ δεινῶν,
μετάνοιαν παρέχουσα
καὶ τὴν εἰρήνην ἐν πᾶσι,
δεόμεθά σου, Παρθένε.

www.tezaurliturgic.ro



## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς
Προσόμοια.
Ἦχος πλ. δ΄ *Ὢ τοῦ παραδόξου θαύματος.*

Ὢ τοῦ παραδόξου θαύματος!
παῖς ἐν τῷ Ἄθωνι ὤν,
τοῦ Βελίαρ τὸ φρύαγμα
ἀνδρικῶς κατέβαλες,
καὶ στεφάνους ἀπέλαβες·
παῖς ὢν γερόντων σύνεσιν ἔδειξας,
ἀγγέλων βίον, πάτερ, μιμούμενος.
Ὅθεν χαρίσματα
ὡς πορφύραν ἔλαβες πνευματικήν,
ὅσιε Πορφύριε,
θεοφιλέστατε.

Ὢ τοῦ παραδόξου θαύματος!
Τὰ τοῖς ἀνθρώποις κρυπτὰ
διοράσει ἐξήλεγχες,
καὶ προφήτης γέγονας
τῶν μελλόντων, πανόσιε.
Τερατουργίαις πλείσταις ἐξέπληττες,
καὶ τῶν δαιμόνων πλάνας διέλυες·
νόσους δ᾽ ἰώμενος,

www.tezaurliturgic.ro



ἀσθενούντων γέγονας καταφυγή,
κλονουμένων στήριγμα,
θεοχαρίτωτε.

Ὢ τοῦ παραδόξου θαύματος!
Πῶς τοῦ υἱοῦ τῆς βροντῆς
εἰς τὰ ὕψη ἐλήλυθας,
καὶ ἀποκαλύψεων
τῶν ἐκείνου ηὐτύχησας;
Χερουβικῆς ἀπέλαυσας γνώσεως,
ἱερουργῶν πιστῶς τὴν ταπείνωσιν.
Θείας ἐδέχου σὺ
ἐπισκέψεις, ὅσιε, φωτοειδῶς
λάμπων ἐν τῇ κλίνῃ σου,
μακαριώτατε.

Ὢ τοῦ παραδόξου θαύματος!
Τῶν μυστηρίων Χριστοῦ
παραδόξως μετέσχες σύ,
εἰ καὶ εὑρισκόμενος
τοῦ ναοῦ πόῤῥω ὅσιε,
χερσὶν ἀγγέλων ὄντως δεχθεὶς ἐν σοὶ
τὸν Θεῖον ἄνθρακα, ἱερώτατε.
Ὅθεν ἐξέστησαν
οἱ συνόντες τότε σοι τῇ μυστικῇ,
θείᾳ κοινωνίᾳ σου,
Θεὸν δοξάζοντες.

www.tezaurliturgic.ro



Δόξα. Ἦχος πλ. α΄

Ὅσιε πάτερ, θείαν κλῆσιν δεξάμενος,
σὴν βιοτὴν ἐν ἀγῶσι καὶ πένθει ἤνυσας,
ὁρῶν πρὸς πατρίδα τὴν ἄνω.
Καί, ταπεινώσει πολλῇ, ὑψωθείς,
χαρισμάτων ἀπέλαυσας πλῆθος,
πάθη καὶ νόσους ἰώμενος.
Προφητικὰς ἀποκαλύψεις ἐδέξω,
καί, διοράσει, μυστήρια δηλῶν,
τρανῶς πάντας ἐξέπληττες.
Ἀλλ᾽, ὦ Πορφύριε, ὁσίων κλέος
καὶ ἁγίων σύσκηνε,
σὺν αὐτοῖς Χριστὸν δυσώπει,
ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε,
Θεοτόκε Παρθένε,
καὶ δοξάζομέν σε,
οἱ πιστοὶ κατὰ χρέος,
τὴν πόλιν τὴν ἄσειστον,
τὸ τεῖχος τὸ ἄῤῥηκτον,
τὴν ἀῤῥαγῆ προστασίαν,
καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro





## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ.΄ καὶ ἡ στ.΄ ᾠδή.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.
Στίχ. Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν.

**Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.**

Ἀδελφοί, πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν ὡς λόγον ἀποδώσοντες· ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι καὶ μὴ στενάζοντες· ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο. Προσεύχεσθε περὶ ἡμῶν· πεποίθαμεν γὰρ ὅτι καλὴν συνείδησιν ἔχομεν, ἐν πᾶσι καλῶς θέλοντες ἀναστρέφεσθαι. Περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν. Ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ ἀναγαγὼν ἐκ νεκρῶν τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν ἐν αἵματι διαθήκης αἰωνίου, τὸν Κύριον ἡμῶν Ἰησοῦν, καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ, ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

www.tezaurliturgic.ro



## Εὐαγγέλιον κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο. Καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ᾽ αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς Μαθητὰς αὐτοῦ ἔλεγε· Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. Μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. Μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσι καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Χάρητε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ.

Κοινωνικόν: Εἰς μνημόσυνον αἰώνιον...

### Μεγαλυνάριον

Χαίροις χαρισμάτων ὁ θησαυρὸς
καὶ τῶν ἰαμάτων ἡ πηγὴ ἡ θαυματουργός.
Χαίροις ὁ προφήτης ὁ νέος Ἐκκλησίας,
Πορφύριε τρισμάκαρ, Ἄθωνος καύχημα.

### Δίστιχον

Πορφύριε, φώτισον νοῦν Εὐαγγέλου
ἁγίους ὑμνεῖν καὶ γεραίρειν εὐτόνως.